# ΥΠΟΘΕΣΙΣ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην. φυγὰς δ' ἐκεῖνος εἰς Ἄργος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου. κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ μήτηρ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη τὰ τέκνα εἰς φιλίαν συναγαγεῖν οὐκ ἠδύνατο Πολυνείκης δὲ ὡς πρὸς πολέμιον λοιπὸν παραταξάμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα· ὁ δὲ νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς ἔσφαξεν ἑαυτήν· ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν δυναστείαν. οἱ δὲ Ἀργεῖοι τῇ μάχῃ ἡττηθέντες ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν *οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ.

[Ἡ μὲν ὑπόθεσις τοῦ δράματος] ἐπιστρατεία τοῦ Πολυνείκους μετὰ τῶν Ἀργείων ἐπὶ Θήβας καὶ ἀπώλεια τῶν ἀδελφῶν Πολυνείκους καὶ Ἐτεοκλέους καὶ θάνατος Ἰοκάστης. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Ἑπτὰ ἐπὶ Θήβας †πλείστης Ἰοκάστης. [ἐδιδάχθη] ἐπὶ Ναυσικράτους ἄρχοντος ὀλυμπιάδ . . . . . πρῶτος . . . . . δεύτερος Εὐριπίδης, [τρίτος . . . . . . .] καθῆκε διδασκαλίαν [. . . . . . .] περὶ τούτου· καὶ γὰρ ταῦτα [. . . . . .] ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ [Φοίνισσαι καὶ . . . . . . σατυρ . . . οὐ] σώζεται. ὁ χορὸς συνέστηκεν ἐκ Φοινισσῶν γυναικῶν· προλογίζει δὲ Ἰοκάστη.